*Antigone and Creon argue about how shameful her actions are*

| | |
|---|---|
| Ἀντιγόνη | θέλεις τι μεῖζον ἢ κατακτεῖναί μ᾽ ἑλών; |
| Κρέων | ἐγὼ μὲν οὐδέν· τοῦτ᾽ ἔχων ἅπαντ᾽ ἔχω. |
| Ἀντιγόνη | τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων |
| | ἀρεστὸν οὐδὲν μηδ᾽ ἀρεσθείη ποτέ· |
| | οὕτω δὲ καὶ σοὶ τἄμ᾽ ἀφανδάνοντ᾽ ἔφυ. |
| | καίτοι πόθεν κλέος γ᾽ ἂν εὐκλεέστερον |
| | κατέσχον ἢ τὸν αὐτάδελφον ἐν τάφῳ |
| | τιθεῖσα; τούτοις τοῦτο πᾶσιν ἁνδάνειν |
| | λέγοιτ᾽ ἄν, εἰ μὴ γλῶσσαν ἐγκλῄοι φόβος. |
| | ἀλλ᾽ ἡ τυραννὶς πολλά τ᾽ ἄλλ᾽ εὐδαιμονεῖ |
| | κἄξεστιν αὐτῇ δρᾶν λέγειν θ᾽ ἃ βούλεται. |
| Κρέων | σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς. |
| Ἀντιγόνη | ὁρῶσι χοὖτοι, σοὶ δ᾽ ὑπίλλουσιν στόμα. |
| Κρέων | σὺ δ᾽ οὐκ ἐπαιδεῖ, τῶνδε χωρὶς εἰ φρονεῖς; |
| Ἀντιγόνη | οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν. |

Sophocles Antigone 497-511
1B 2 2007 Seen